τῇ εἰρημένῃ σεβασμίᾳ βασιλικῇ μονῇ τῆς ὑπεραγίας μου Θ(εοτό)κου τῆς Βατοπεδιν(ῆς) || [16] ἐνασκούμενοι μνείαν ποιεῖσθαι ἐν ταῖς πρὸς Θ(εὸ)ν <εὐχαῖς> αὐτῶν καὶ ἐντεύξεσιν ὑπὲρ τῆς ἐμῆς ἀθλίας || [17] καὶ ταλαιπώρου ψυχῆς, ποιεῖν δὲ ἀμεταθέτως καθ' ἑκάστην Κυριακὴν ἐν τῷ Ὄρθρῳ μικρὰν || [18] ἐκτενῆ καὶ ἐκφωνεῖν αὐτοὺς ὑπὲρ ἐμοῦ τοῦ τλήμονος τὸ Κ(ύριε) ἐλέησον τρίς. ὀφείλουσι δὲ || [19] πρὸς τούτοις καὶ οἱ ἐνασκούμενοι τιμιώτατοι μοναχοὶ ἐν τῇ σεβασμίᾳ μονῇ τῆς ὑπεράγνου || [20] Μ(ητ)ρ(ὸ)ς τοῦ Θ(εο)ῦ καὶ ἐπικεκλημένης τῆς Ψυχοσωστρίας, τῇ διακειμένῃ ἐν ταύτῃ τῇ θεοδοξάστῳ καὶ θεο || [21] μεγαλύντῳ Κωνσταντινουπόλει, τῇ εἰς μετόχιον οὖσῃ τῆς σεβασμίας βασιλικῆς μονῆς τοῦ Βατο || [22] πεδίου, ἐν ᾗ μέλλει ἐνσοριασθῆναι ὁ ἐμὸς νεκρός, εἴπερ ἀρτίως τὴν ζωὴν ἐκμετρήσω, ἀπο || [23] πληρῶσαι καλῶς κατὰ τὴν αὐτῶν δύναμιν τὰ εἰθισμένα μνημόσυνα τῆς ψυχῆς μου, ὅπως || [24] ἵλεώς μοι αὐτὸς ὁ Θ(εὸ)ς γένοιτο πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μ(ητ)ρ(ός), ἐφ' οἷς ὡς ἄν(θρωπ)ος πε || [25] πλημμέληκα τῶν σωτηριωδῶν καὶ ἁγίων αὐτοῦ ἐντολῶν παρακούσας. καθέξουσιν οὖν || [26] οἱ ἐν τῇ εἰρημένῃ σεβασμίᾳ βασιλικῇ μονῇ τοῦ Βατοπεδίου καὶ τὸ ἡμέτερον τέταρτ(ον) μεριδικὸν κυρί(ως) || [27] καὶ δεσποτικῶς, ἀναφαιρέτως καὶ ἀναποσπάστως καὶ ποιεῖν εἰς αὐτὸ πάντα, ὅσα ἂν δόξωσι || [28] λυσιτελῆ δηλονότι καὶ ὠφέλιμα αὐτοῖς τε καὶ τῇ μονῇ, μήτε παρ' ἐμοῦ μήτε παρὰ τῆς || [29] συζύγου μου, τῆς δι' ἐπερωτήσεως τοῦ ἐπὶ τῶν κρίσεων τῆς ἁγιωτάτης μεγάλ(ης) τοῦ Θ(εο)ῦ ἐκκλησί(ας) || [30] ἐξάρχου, πρεσβυτέρου καὶ ταβουλλαρίου Μιχαὴλ τοῦ Βαλσαμὼν ἀποβαλομένης πάντα νόμον, τ(ὸν) || [31] βοηθοῦντα αὐτῇ ἐπὶ τοῖς καινοτομηθεῖσιν αὐτῆς προικιμαίοις πράγμα(σ)ι, μήτε δὲ καὶ πρὸς || [32] τῶν παίδων ἡμῶν εὑρίσκουσιν εἰς αὐτὸ διενόχλησιν ἢ διασεισμὸν τὸν τυχόντα, ἐπειδὴ γνώμῃ || [33] καὶ θελήσει αὐτῶν τὸ παρὸν ἐκδοτήριον γράμμα ἐποιησάμην πρὸς τὴν μονὴν κατὰ τὸν ἀναγεγραμμ(έν)ον || [34] τρόπ(ον), ἀλλὰ μᾶλλον δεφένδευσιν τὴν δυνατὴν καὶ προσήκουσαν, εἴπερ ἐξ ἄλλου τινὸς εὑρίσκουσι(ν) οἱ μοναχοὶ || [35] τὸν τυχόντα διασεισμόν, ἄνευ τῶν ἐκεῖσε γειτνιαζόντων καὶ λεηλατούντων τὰ περὶ τὴν Θεσσαλο || [36] νίκην χωρία θεοστυγῶν Τριβαλῶν. εἰ δὲ μετὰ τὴν ἀποβίωσίν μου βουληθείη τις ἀπὸ τῶν ἐμ(ῶν) || [37] ἢ τῶν ἔξωθεν ἀνατρέψαι καὶ καταλῦσαι εἰς τὸ ἀποσπάσαι καὶ ἀφελέσθαι τὸ εἰρημένον κτῆμα ἀπὸ τῆς || [38] σεβασμίας βασιλικ(ῆς) μονῆς τοῦ Βατοπεδίου καὶ ἰδιοποιήσασθαι, εὔχομαι τῷ Θ(ε)ῷ, ἵνα ἔχοι τὴν ὕπερα || [39] γίαν δέσποιναν Θ(εοτό)κον, ἧς ἔστι κτῆμα τὸ διαληφθὲν Γαλικόν, ἀντίδικον καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντ(ι) || [40] αἰῶνι καὶ μήτε ἐν τῷ παρόντι βίῳ ἀπολαύσειεν εὐπραγίας ἢ καλοῦ τινος ἢ αὐτὸς ἢ οἱ παῖδες || [41] αὐτοῦ, μήτε ἐν τῷ μέλλοντι τύχοιεν τῆς ἐπηγγελμένης πᾶσι χριστιανοῖς βασιλείας τῶν

---

17 ταλεπώρου 18 ἐκτενήν, τρεῖς 31 καινοτομηθείσειν

οὐ(ρα)νῶν. || [42] *ἐγένετο δὲ τὸ παρόν μου γράμμα καὶ ὑπεγράφη τῇ ἡμετέρᾳ χειρὶ καὶ τῆς συζύγου μου εἰς βεβαίωσιν* || [43] *τ(ῆς) εἰρημ(έν)ης μονῆς καὶ ἀσφάλειαν ἐν ἔτει ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἑβδομηκοστῷ, μηνὶ* || [44] *Αὐγούστῳ, ἰνδικτιῶνος πεντεκαιδεκάτ(ης)* ✝

|| [45] ✝ *ὁ δοῦλος τοῦ κρατ(αι)οῦ καὶ ἁγ(ίου) ἡμ(ῶν) αὐθ(έν)τ(ου) καὶ βασιλ(έως) Δημήτρ(ιος) Τζαμπλάκων ✝ ὁ μέγας* || [46] *στρατοπεδάρχης* ✝

|| [47] ✝ *Ἐὐδοκία Παλεολογίνα Τζαμπλακόνησα* || [48] *ἡ μαιγάλη στρατωπαιδάρχησα* ✝

|| [49] ✝ *ὁ ἐπὶ τῶν κρίσεων τῆς ἁγιωτ(ά)τ(ης) μ(ε)γ(ά)λ(ης) τοῦ Θ(εο)ῦ ἐκκλη(σίας)* || [50] *ἔξ(αρ)χος πρε(σβύτερ)ος καὶ ταβουλλάρ(ι)ος Μιχαὴλ ὁ Βαλσαμών* ✝

Παρατηρήσεις

Στ. 9-12: *Ψυχοσωστρίας* μονή· μετόχιον τῆς μονῆς Βατοπεδίου ἐν Κωνσταντινουπόλει. Περὶ τῆς ἱστορίας τῆς μονῆς ἐν γένει βλ. R. Janin, La geographie écclesiastique de l' Empire byzantin. Tom. III: Les églises et les monastères. Paris 1953, p. 252. Τὰ ἔγγραφα τῆς παραχωρήσεως τῆς μονῆς ὡς μετοχίου εἰς τὴν μονὴν τοῦ Βατοπεδίου ἐξεδόθησαν ὑπὸ τοῦ γέροντος Ἀροκαδίου Βατοπεδινοῦ, Γράμματα τῆς ἐν Κωνσταντινουπόλει μονῆς τῆς Θεοτόκου τῆς Ψυχοσωστρίας. Byzant.-neugr. Jahrbücher 13 (1937), σ. 308δ'-308ιγ'. Πβλ. καὶ Döller, Schatzk. Nr. 43/4.

Στ. 29/30 καὶ 49/50: *ὁ ἐπὶ τῶν κρίσεων... Μιχαὴλ ὁ Βαλσαμών* ὁ ἐπὶ τῶν κρίσεων εὑρίσκετο εἰς τὴν τετάρτην πεντάδα τῶν ἐκκλησιαστικῶν ἀρχόντων. Βλ. Ψευδο-Κωδινόν, Βόνν. σ. 116 (Ματθαίου μοναχοῦ). Πβλ. καὶ Χρυσοστ. Μ. Δημητρίου, ἀρχιμ., Οἱ ἐξωκατάκοιλοι ἄρχοντες τῆς ἐν Κωνσταντινουπόλει μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας. (Texte und Forschungen zur byzant.-neugriechischen Philologie Nr. 7). Ἀθῆναι 1927, σ. 26 κ.ἑ.

4α.

Ἀφιερωτήριον γράμμα τοῦ **Μιχαὴλ Καβαλλαρίου τοῦ Τζαμπλάκωνος** πρὸς τὴν μονὴν **Βατοπεδίου** τοῦ **Αὐγούστου 1370.**

Ἀρχεῖον: Φωτογραφία Σπ. Π. Π. (λευκὸν ἐπὶ μαύρου). Εἰς τὴν κάτω ἀριστερὰν πλευρὰν ἐπὶ συμφωτογραφηθέντος τεμαχίου χάρτου: Βατοπ. 3,34.

Ἐξωτερικόν: Μακρόστενον σχῆμα. Δύο μεγάλαι καὶ τρεῖς μικραὶ ὀπαὶ ἐκ φθορᾶς τοῦ ὑλικοῦ εἰς τὸ κάτω δεξιὸν ἄκρον, καταστρέψασαι τὸ δεξιὸν τρίτον τῶν τριῶν τελευταίων στίχων τῶν ὑπογραφῶν.

Γραφή: Λίαν μικρογράμματος γραφὴ μετὰ πολλῶν συνδέσεων γραμμάτων καὶ συντομογραφιῶν. Ἡ ὑπογραφὴ τοῦ Μιχαὴλ Καβαλλαρίου μετὰ

πολλῶν κεφαλαίων χαρακτήρων. Ἡ ὑπογραφὴ (τίτλοι καὶ ὄνομα) τοῦ ταβουλλαρίου Μιχαὴλ Ζωμῆ ἐν μονοκονδυλιαῖς.

Διπλωματικά: Ὑπάρχει φωτογραφία Σπ. Π. Π. (λ. ἐπὶ μ.) παραλλαγῆς τοῦ ἐγγράφου, ὁμοίου περιεχομένου, ἀλλὰ διαφορετικῆς διατυπώσεως. Φέρει εἰς τὴν αὐτὴν θέσιν καὶ κατὰ τὸν αὐτόν, ὡς ἀνωτέρω, τρόπον τὴν ἀρχειακὴν σημείωσιν: Βατοπ. 3, 34 Β. Ἔχει τὸ αὐτὸ μακρόστενον σχῆμα καὶ ἐλλείπει μικρὸν τμῆμα εἰς τὸ μέσον τῆς κάτω στενῆς πλευρᾶς. Φέρει τὰς αὐτὰς ὑπογραφάς, ὡς καὶ τὸ πρῶτον, πλὴν τῆς ὑπογραφῆς τοῦ Φακρασῆ, ἡ θέσις τῆς ὁποίας παραμένει κενή. Ἀντ' αὐτοῦ καὶ τελευταῖος κατὰ σειρὰν ὑπογράφει ὁ ῥεφερενδάριος τῆς μεγάλης Ἐκκλησίας διάκονος Δημήτριος, τὸ ἐπίθετον τοῦ ὁποίου ἐλλείπει λόγῳ τῆς ἀναφερθείσης φθορᾶς εἰς τὴν θέσιν ἐκείνην. Τὸ ἔγγραφον λοιπὸν ἐγένετο εἰς δύο διαδοχικὰς μορφάς, αἱ ὁποῖαι ὑπεγράφησαν μεσολαβήσαντος ὀλίγου χρόνου (ἀμφότεραι φέρουν τὴν αὐτὴν χρονολογίαν: Αὔγουστος 1370), καθ' ὃν ἐκωλύθη εἷς ἐκ τῶν πρώτων μαρτύρων καὶ ἀντικατεστάθη, διὰ νὰ ὑπάρχῃ εἰς ἀμφότερα ὁ αὐτὸς ἀριθμὸς μαρτύρων. Ποῖος ὁ λόγος τῆς ἐπαναλήψεως τοῦ ἐγγράφου μετὰ διαφορετικῆς διατυπώσεως δὲν εἶναι φανερόν.

Ἐκδόσεις: Ἀνέκδοτον. Ἀναφέρεται (ἐσφαλμένως ὡς τοῦ Μανουὴλ) ὑπὸ Σωφρονίου Εὐστρατιάδου ἐν Γρηγ. Παλαμᾷ 2 (1918), σ. 86, ἀριθ. 34.

Περιεχόμενον: Ὁ Μιχαὴλ Καβαλλάριος ὁ Τζαμπλάκων ἀφιερώνει εἰς τὴν μονὴν Βατοπεδίου καλλιεργήσιμον γῆν καὶ ἐγκατάστασιν διαχειμάσεως ζῴων εἰς τὸ προγονικόν του κτῆμα Πρινάριον. Ταῦτα ἀπετέλουν κληρονομικὸν μερίδιον αὐτοῦ καὶ τοῦ ἀποθανόντος ἀδελφοῦ του Ἀλεξίου Καβαλλαρίου Τζαμπλάκωνος. Ἄλλα τμήματα τοῦ ἰδίου κτήματος εἶχον ἀφιερώσει πρὸ ἐτῶν εἷς τὴν αὐτὴν μονὴν οἱ μακαρῖται τώρα ἀνεψιοί του Τζαμπλάκωνες, ἀλλ' αὐτός, ἐμποδισθεὶς τότε, προβαίνει τώρα εἰς τὴν ἀφιέρωσιν καὶ τοῦ ἰδικοῦ του μεριδίου. Ὡς ἀντιπαροχὴν ἐπιθυμεῖ νὰ ἀναγραφῇ τὸ ὄνομα τοῦ ἀποθαμένου ἀδελφοῦ του Ἀλεξίου, τοῦ ἄλλοτε συνιδιοκτήτου τοῦ ἀφιερουμένου μεριδίου, εἰς τὰ δίπτυχα (βρέβιον) τῆς μονῆς, διὰ νὰ μνημονεύηται ὑπὸ τῶν μοναχῶν εἰς τὰς λειτουργίας, νὰ τοῦ παραχωρηθῇ δὲ μονίμως κελλίον ἐν τῇ μονῇ καὶ αἱ ὑπηρεσίαι ἑνὸς ὑπηρέτου ἐν περιπτώσει, καθ' ἣν εἴτε αὐτὸς εἴτε εἷς ἐκ τῶν παίδων ἢ ἐγγόνων του ἤθελε ποτὲ καταφύγει εἰς τὴν μονήν. Τὸ ἀμετάκλητον καὶ ἀνενόχλητον τῆς προσκυρώσεως ταύτης ἐγγυῶνται αἱ ὑπογραφαὶ αὐτοῦ καὶ τῶν μαρτύρων, μεταξὺ τῶν ὁποίων ὑπογράφουν δύο υἱοί του, πᾶς δὲ ἀποπειρώμενος ἀνατροπὴν τῆς δωρεᾶς ἐκτίθεται εἰς τὴν τιμωρίαν τῆς Παναγίας καὶ εἰς τὴν κατάραν τοῦ δωρητοῦ.

Ἰδοὺ τώρα τὰ κείμενα τῶν δύο παραλλαγῶν τοῦ ἐγγράφου:

4 α.

† Αἱ εἰς τὰς ἱερὰς καὶ σεβασμί(ας) μονὰς καὶ τοὺς ἄλλ(ους) εὐαγεῖς οἴκους γινόμεναι ἀφιερώσεις καὶ προ(σ)κυρώσεις παρ' ἀν(θρώπ)ων || [2] καὶ προσενέξεις οὐ μόνον θεοφιλεῖς εἰσι καὶ εὐάρεστοι τ(ῷ) Θ(ε)ῷ, ἀλλὰ καὶ λί(αν) ψυχωφελεῖς καὶ σ(ωτη)ριώδεις. ἀντὶ γὰρ ἄλλων || [3] ὅρμων καὶ λιμέν(ων) προβεβλημένων καὶ αὗται εἰσί, τοῦ ἀπὸ τῆς μεγάλ(ης) ταύτ(ης) τοῦ βίου θαλάσσης καὶ τοῦ κοσμικοῦ καὶ ἀστάτου || [4] κλύδωνος ἀπαίροντος εἰς τὴν ἐκεῖσε κατάστασ(ιν) καὶ διαγωγὴν προσδεχόμεναι καὶ διαναπαύουσαι καὶ τὸ πολὺ τῶν ἁμαρτιῶν, || [5] ὅπερ ἐπεσώρευσ(εν) ἐνθάδε ψυχή, διαλύουσαί τ(ε) καὶ ἀφανίζουσαι. κἀγὼ τοίνυν ὁ δοῦλ(ος) τοῦ κρατ(αιοῦ) καὶ ἁγί(ου) ἡμῶν αὐθ(έν)του καὶ βασιλέ(ως) || [6] Καβαλλάρι(ος) Μιχ(αὴ)λ ὁ Τζαμπλάκων, ὁ κατωτ(έ)ρ(ω) τοῦ παρόντος ὕφ(ους) οἰκειοχείροις μου γράμμασ(ιν) ὑπογράψας πρὸς τὴν τῶν || [7] γεγραμμένων πίστωσιν καὶ ἀσφάλει(αν), πλημμελήσας ἐν βίῳ καὶ εἰς Θ(εὸ)ν ἔχων ἀκαταισχύντους ἐλπίδ(ας), τὸν διὰ || [8] τὴν σ(ωτη)ρί(αν) ἡμῶν ἄν(θρωπ)ον γεγονότα, ἵνα κατ(ὰ) τὸ μέγα καὶ ἄφατον αὐτοῦ ἔλεος τύχω τῆς ἀφέσε(ως) τῶν ἁμαρτιῶν μου, ἠβουλήθ(ην) || [9] πρὸ καιροῦ ἀφιερῶσαι εἰς τὴν κατ(ὰ) τὸ Ἅγ(ιον) Ὄρος τοῦ Ἄθω διακειμένην σεβασμί(αν) καὶ ἱερὰν βασιλικὴν μονήν, τ(ὴν) || [10] εἰς ὄνομα τιμωμένην τῆς πανυπεράγνου Δεσποίν(ης) καὶ Θεομ(ήτο)ρος καὶ ἐπικεκλημ(έ)ν(ην) τοῦ Βατοπεδί(ου), τὴν εἰς τὸ Πρινάριον || [11] εὑρισκομένην γῆν μετὰ καὶ τοῦ χειμαδίου, ἣν εἴχομ(εν) ἀπὸ γονικότ(η)τ(ος) ἐγώ τε καὶ ὁ αὐτάδελφός μου κῦρ Ἀλέξιος ὁ Καβαλλάρι(ος) || [12] ἐκεῖνος, καθὼς εἶχον καὶ οἱ ἡμέτ(ε)ροι ἀνεψιοὶ οἱ Τζαμπλακωναῖοι ἐκεῖνοι καὶ ἀφιέρωσαν τῇ αὐτῇ μονῇ ἕνεκα || [13] ψυχικῆς σ(ωτη)ρί(ας). συνέβη δέ μοι τότε καὶ ἐνεμποδίσθην διά τι. ἀρτί(ως) δὲ ἀφιερῶ καὶ προ(σ)κυρῶ ἑκουσί(ως), οἰκειοθελ(ῶς), || [14] αὐτοβουλήτ(ως), αὐτοπροαιρέτως καὶ ἀμεταμελήτ(ως) τὴν γῆν ταύτην μετὰ καὶ τοῦ χειμαδ(ίου) καὶ πάσης τῆς νομῆς καὶ περιο || [15] χῆς αὐτῆς καὶ τῶν προσόντ(ων) μοι ἐν αὐτῇ δικαιωμάτ(ων) δι' ἐγγράφου ἀφιερωτ(η)ρί(ου), ταβουλλαρικοῦ, πεπιστωμένου || [16] ὑπογραφῇ οἰκειοχείρ(ῳ) καὶ κατησφαλισμένῃ ὑπογραφαῖς τῶν τε γνησί(ων) μου παίδων καὶ τ(ῶν) κάτωθ(εν) ὑπογραψόντων || [17] μαρτύρων, τοῦ τε αὐθέντου μου τοῦ υἱοῦ μου, τοῦ οἰκεί(ου) τοῦ κρατ(αιοῦ) καὶ ἁγ(ίου) ἡμῶν αὐθ(έν)του καὶ βασιλ(έως) Φακρασῆ κυ(ροῦ) Μανουὴλ || [18] τοῦ Καντακουζηνοῦ, καὶ τοῦ οἰκείου τοῦ κρατ(αιοῦ) καὶ ἁγ(ίου) ἡμῶν αὐθέντ(ου) καὶ βασιλ(έως) κυ(ροῦ) Δημητρ(ίου) τοῦ Μελιτηνιώτ(ου), τοῦ ἐντι || [19] μοτάτου ἱερέ(ως) καὶ ρεφερενδ(α)ρ(ίου) κυ(ροῦ) Μιχ(αὴ)λ τοῦ Κρυονερίτ(ου), δεσποτικ(ῶς) καὶ ἀνα-

1 γινομένας 3 τῆς ἀπὸ 4 πρὸς δεξόμεναι 5 ἀπεσώρευσεν
10 Βατοπαιδίου 15 προσώντων, δικαιομάτων 16 ὑπογραψώντων
19 ραιφερενδαρίου

φαιρέτως, ἀναποσπάστως καὶ ἀνενοχλήτ(ως) || [20] εἰς τελεί(αν) ἐξουσί(αν) κατὰ ἀναφαίρετον πάντῃ καὶ ἀναπόσπαστον κυριότ(η)τ(α) τῆς τοιαύτ(ης) σεβασμί(ας) μονῆς. καὶ ἀντὶ τ(ῆς) || [21] ἀφιερώσεώς μου ταύτ(ης) τὸ μ(ὲν) ἐμὸν ὄνομα καὶ τοῦ αὐταδέλφου μου ἐκείνου, τοῦ Καβαλλαρ(ίου) κυ(ροῦ) Ἀλεξίου, καταγραφῶσι<ν> ἐν τῷ σεπτῷ || [22] βρεβίῳ τῆς μονῆς καὶ μνημονεύεσθαι ἕξω καὶ αὐτοὶ συνήθως παρὰ τῶνδε τῶν μοναχῶν, ὁπόταν δὲ καὶ αὐτὸς πα || [23] ραγίνωμαι ἐκεῖσε, δίδωσι πρός με κελλίον καὶ διακονί(αν) ἀδελφάτου ἑνὸς καὶ ἔχω εἰς ὑπηρεσί(αν) καὶ ἀνάπαυσίν μου, || [24] καθὼς καὶ οἱ τιμιώτατοι γέροντες. εἴπερ δέ μοι συμβῇ καὶ οὐκ ἀπέλθω ἐκεῖσε, ἔχειν τὴν τοιαύτην συμφωνίαν || [25] καὶ κατάστασ(ιν) ἕνα τινὰ ἀπὸ τῶν ἐξ ἐμοῦ γνησίων μου παίδων ἢ καὶ ἐγγόνων, ὃν ἂν αὐτὸς προστάξω. ταύτην || [26] δὴ τοίνυν τὴν ἀφιέρωσιν καὶ προσένεξιν ἐπιβεβαιῶ, ἐπικυρῶ, ἀποκαθιστῶ καὶ κατασφαλίζομαι διὰ τοῦ παρόντος || [27] μου ἀφιερωτηρίου, ταβουλλαρικοῦ γράμμ(α)τος, ὡσὰν ἔχῃ <ἡ> ἱερὰ καὶ σεβασμία βασιλικὴ τοῦ Βατοπεδίου μονὴ τὴν εἰ || [28] ρημένην γῆν ἀναφαιρέτως, ἀναποσπάστως, ἀνεγκρατήτως, ἀκωλύτως παρὰ παντὸς προσώπου συγγενικοῦ || [29] τε καὶ ἐξωτερικοῦ κατὰ τελεί(αν) δεσποτείαν καὶ κυριότ(η)τ(α), λόγῳ κληρονομίας ἀκωλύτου, διηνεκοῦς καὶ μονίμου. καὶ ποι || [30] ῇ ἐπ' ἐμοὶ ἅπαντ(α) τὰ ἀναγεγραμμένα, ἃ καὶ ῥητῶς καταγράφονται ἐν τῇ παρούσῃ μου ἐγγράφῳ προσκυρώσει, || [31] ὡς ὁρᾶται. τούτ(ων) οὕτω τελουμέν(ων) ἀπὸ τοῦ νῦν μέχρις ἂν συνισταμένη διατελῇ ἡμῖν καὶ ὁ παρὼν διαρ || [32] κῇ αἰὼν καθέξει καὶ ἡ μονὴ τὴν εἰς τ(ὸ) Πρινάριον εἰρημένην μοι γῆν μετὰ καὶ τοῦ χειμαδίου ἐξουσιωδῶς || [33] καὶ ἀναφαιρέτ(ως) εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους. εἰ δέ τις πειραθήσεταί ποτε τῶν καιρῶν ὁλι || [34] κῶς ἢ μερικῶς ἀποσπάσαι ταύτην τῇ τοιαύτῃ σεβασμίᾳ ἱερᾷ καὶ βασιλικῇ μονῇ εἴτε αὐτὸς || [35] ἔγω γε, εἴτε τῶν γνησίων μου, εἴτε καὶ τῶν ἐξωτερικῶν, ἵν' εἴη ἐπισπώμενος κατ(ὰ) τῆς ἑαυτοῦ κεφαλῆς || [36] τὰς ἀρὰς τῶν τριακοσί(ων) δέκα καὶ ὀκτὼ θεοφόρ(ων) Π(ατέ)ρων καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, εὕρῃ δὲ καὶ τῇ Θ(εοτό)κῳ μου || [37] ἐν ἐκείν(ῃ) τῇ ἡμέρᾳ ἀντίδικον. τὸ δὲ παρ(ὸν) ἀφιερωτ(ή)ρ(ιον) εἴη ἐρρωμένον καὶ οὕτως καὶ πάγιον καὶ παντελῶς || [38] ἀκατάλυτον κατ(ὰ) πᾶσαν αὐτοῦ τὴν περίληψιν. ὅπερ ἐξεθέμην ἐνώπιον τῶν εἰρημένων μαρτύρων, || [39] τῶν ὀνομαστὶ ὑπογραφόντων καὶ διαλαμβανομέν(ων) ἐνταῦθα, καὶ αὐτοῦ τοῦ ἐξ ἐπιτροπῆς ἐμῆς γράψαντος || [40] τὸ παρ(ὸν) ἀφιερωτ(ή)ρ(ιον) γράμμα, τοῦ εὐλαβεστάτου ἱερέ(ως) καὶ ταβουλλαρίου Μιχ(αὴ)λ τοῦ Ζωμῆ, καὶ ἐπεδόθη τοῖς εἰρημένοις || [41] τιμιωτάτοις μοναχοῖς καὶ ἀνετέθη τῇ διειλημμένῃ σεβασμίᾳ καὶ ἱερᾷ βασιλικῇ μονῇ, τῇ ἐπ' ὀνόματι || [42] τιμωμένῃ τῆς ὑπεράγνου Θεομήτ(ο)ρος δεσποίν(ης) ἡμῶν καὶ ἐπικεκλημένῃ τοῦ Βατοπεδίου

---

22 βρεβείω, ὁπώταν 23 δίδοσι 27 ἀφιερωταρίου 41 διειλημένῃ

ἐπὶ τῷ προσεῖναι || [43] *αὐτῇ εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν, κατὰ μῆνα Αὔ(γου)στ(ον) τ(ῆς) η' ἰν(δικτιῶνος) τοῦ ϛου ωου οου ὀγδόου ἔτους ϯ*

|| [44] *ϯ ὁ δοῦλ(ος) τοῦ κρα(ταιοῦ) καὶ ἁγ(ίου) ἡμῶν αὐθέντου καὶ βασιλ(έως) ϯ Μιχαὴλ ὁ Καβαλάριος ϯ*

|| [45] *ϯ ὁ δοῦλ(ος) τοῦ κρατ(αιοῦ) καὶ ἁγ(ίου) ἡμῶν αὐθ(έντ)ου καὶ βασιλ(έως) Ἰω(άνν)ης Τζαμπλάκων ὁ Καβαλλάριος ϯ*

|| [46] *ϯ ὁ δοῦλος τοῦ κρατ(αι)οῦ καὶ ἁγίου ἡμῶν αὐθ(έν)του καὶ βασιλ(έως) Ἀλέξιος Καβαλάριος ὁ Τζαμπλάκων ϯ*

|| [47] *ϯ ὁ δοῦλος τοῦ κρατ(αιοῦ) καὶ ἁγ(ίου) ἡμῶν αὐθ(έν)του καὶ βασιλ(έως) μαρτυρῶν ὑπέγραψα ὁ Μελιτηνιώτ(ης) Δημήτρ(ιος) ϯ*

|| [48] *ϯ ὁ δοῦλος τοῦ κρατ(αι)οῦ καὶ ἁγίου ἡμῶν αὐθ(έν)του καὶ βασιλ(έως) μαρτυρῶν ὑπέγραψα Φακρασ(ῆς) ὁ Καντα* || [49] *(κου)ζηνός ϯ*

ϯ ὁ ῥαιφερενδ(ά)ρ(ιος) ἱερεὺς ὁ Κρυονερίτ(ης) παρατυχὼν καὶ αὐτὸς ὑπέγραψα ϯ

|| [50] *ϯ τὴν παροῦσαν ἔγγραφον ἀφιέρωσ(ιν) καὶ προσκύρωσιν ἐκ προτροπῆς τοῦ ἀφι[ερώσαν]τος* || [51] *καὶ προσκυρώσαντος γράψας καὶ κυρώσ(ας) ὑπέγραψα [....δι' ἀσφ[άλειαν*

|| [52] *ὁ εὐτελὴς ἱερεὺς καὶ ταβουλλάριος Μιχαὴλ [ὁ Ζωμῆς] ϯ*

4 β.

ϯ Αἱ εἰς τὰς ἱερὰς καὶ σεβασμί(ας) μονὰς καὶ τοὺς ἄλλ(ους) εὐαγεῖς οἴκους γινόμεν(αι) ἀφιερώσεις καὶ προσκυ || [2] *ρώσεις παρ' ἀν(θρώπ)ων καὶ προσενέξεις οὐ μόνον θεοφιλεῖς εἰσι καὶ εὐάρεστοι τ(ῷ) Θ(ε)ῷ, ἀλλὰ καὶ λί(αν)* || [3] *ψυχωφελεῖς καὶ σ(ωτη)ριώδεις. ἀντὶ γὰρ ἄλλων ὅρμων καὶ λιμέν(ων) καὶ αὗταί εἰσι τοῦ ἀπὸ τῆς* || [4] *μεγάλ(ης) ταύτ(ης) τοῦ βίου θαλάσσης καὶ τοῦ κοσμικοῦ καὶ ἀστάτου κλύδωνος ἀπαίροντος εἰς τὴν ἐκεῖσε* || [5] *κατάστασ(ιν) καὶ διαγωγὴν προσδεχόμεναι καὶ διαναπαύουσαι καὶ τὸ πολὺ τῶν ἁμαρτιῶν, ὅπερ ἐπεσώ* || [6] *ρευσ(εν) ἐνθάδε ψυχή, διαλύουσαί τε καὶ ἀφανίζουσαι. καὶ ἐγὼ τοίνυν ὁ δοῦλ(ος) τοῦ κρατ(αιοῦ) καὶ ἁγ(ίου) ἡμῶν* || [7] *αὐθέντου καὶ βασιλέ(ως) Καβαλλάριος Μιχαὴλ ὁ Τζαμπλάκ(ων), ὁ κατωτέρω τοῦ παρόντος μου γράμμ(α)τ(ος)* || [8] *ὑπογράψαι ὀφείλων πρὸς τὴν τῶν γεγραμμένων πίστ(ιν) καὶ ἀσφάλειαν, πολλὰ μ(ὲν) κ(α)τ(ὰ) τὸν βίον μου* || [9] *πλημμελήσας, ἐλπίδας δὲ κεκτημ(έν)ος εἰς αὐτὸν τ(ὸν) δι' ἡμᾶς καὶ τὴν σ(ωτη)ρίαν ἡμῶν ἄν(θρωπ)ον γεγονότα καὶ τὴν*

ἅμα || [10] ρτίαν αἴροντα τοῦ κόσμου, ὅπως κ(α)τ(ὰ) τὸ μέγα ἔλεος αὐτοῦ τὸ πολὺ τῶν ἁμαρτιῶν μου πέλαγος ἀφανίσῃ, ἐβουλή || [11] θην μ(ὲν) πρὸ καιροῦ ψυχικῆς ἕνεκα σ(ωτη)ρίας ἀφιερῶσαι πρὸς τὴν κ(α)τ(ὰ) τὸ Ἅγ(ιον) Ὄρος τὸν Ἄθω διακειμ(έν)ην σεβασμίαν || [12] βασιλικὴν μονήν, τ(ὴν) εἰς ὄνομα τιμωμ(έν)ην τῆς πανυπεράγνου δεσποίνης ἡμῶν Θ(εοτό)κου καὶ ἐπικεκλημ(έν)ην τοῦ Βατοπεδίου || [13] τὴν εἰς τὸ Πρινάριον εὑρισκομένην γῆν μετὰ καὶ τοῦ χειμαδίου, ἣν εἴχομ(εν) ἀπὸ γονικότητος ἐγώ τε καὶ ὁ ἀδελφός μου || [14] κῦρ Ἀλέξιος ὁ Καβαλλάριος ἐκεῖνος, ὅπου καὶ οἱ ἡμέτεροι ἀνεψιοί, οἱ Τζαμπλάκωνες ἐκεῖνοι, ἔχοντες || [15] γῆν ἑτέραν, ἀφιέρωσαν ταύτην τῇ ῥηθείσῃ σε(βασμίᾳ) μονῇ ψυχικ(ῆς) ἕνεκ(εν) σ(ωτη)ρίας αὐτῶν, διὰ δέ τινα συμβᾶσαν || [16] αἰτίαν οὐκ ἐγένετο τότε. ἀρτίως δὲ διὰ τοῦ παρόντος μου ταβουλλαρικοῦ ἀφιερωτηρίου γράμματος, || [17] βεβαιωθῆναι ὀφείλοντος τῇ ἐμῇ οἰκειοχείρῳ ὑπογραφῇ καὶ ταῖς τῶν γνησί(ων) μου παίδων καὶ ἑτέρων ἀξιοπίστ(ων) || [18] μαρτύρων, ἀφιερῶ καὶ προσκυρῶ τὴν εἰρημ(έν)ην γῆν μετὰ τοῦ χειμαδίου πρὸς τὴν δηλωθεῖσαν σε(βασμί)αν || [19] τοῦ Βατοπεδίου μονὴν ἑκουσί(ως) καὶ οἰκειοθελῶς, αὐτοπροαιρέτως τε καὶ ἀμεταμελήτως, ὀφείλει || [20] τοίνυν αὕτη δὴ ἡ ἱερὰ καὶ σε(βασμί)α μονὴ ἐπιλαβέσθαι ταύτης καὶ κατασχεῖν αὐτὴν εἰς κληρονομίαν || [21] μόνιμον καὶ διηνεκῆ δεσποτικῶς τε καὶ κυρί(ως), αὐθεντικῶς τε καὶ ἐξουσιαστικῶς κ(α)τ(ὰ) ἀναφαί || [22] ρετον πάντῃ καὶ ἀναπόσπαστον κυριότητα καὶ δεσποτείαν, ἔχουσα ἄδειαν ποιεῖν ἐπ' αὐτῇ || [23] πᾶν, ὅπερ ἂν βούληται καὶ παρὰ τῶν φιλευσεβῶν νόμων ἐφεῖται ποιεῖν τ(οὺς) γνησί(ους) δεσπότας ἐπὶ τοῖς || [24] ἑαυτῶν πράγμα(σ)ι, μηδενὸς ἔχοντος ἄδειαν ἐπενεγκεῖν αὐτῇ τ(ὴν) τυχοῦσαν καταδυναστείαν ἢ δι || [25] ενόχλησι(ν) ἐπὶ τῇ κατοχῇ καὶ νομῇ καὶ δεσποτείᾳ ταύτης. ἀντὶ γοῦν τῆς ἀφιερώσεώς μου ταύτης || [26] ὀφείλει καταγραφῆναι τὸ ἡμέτερον ὄνομα καὶ τοῦ ἀδελφοῦ μου κυροῦ Ἀλεξίου τοῦ Καβαλλαρίου || [27] ἐκείνου ἐν τῷ ἱερῷ βρεβίῳ τῆς μονῆς ταύτης, ὡσὰν μνημονευώμεθα καὶ ἡμεῖς ἔξω παρὰ τῶν || [28] μοναχῶν κ(α)τ(ὰ) τ(ὴν) συνήθειαν. ὅταν δὲ ἀπέλθω ἐκεῖ, ἵνα ἔχω καὶ ἐγὼ κελλίον ἐν τῇ μονῇ καὶ ἀ || [29] δελφᾶτον ἓν εἰς ὑπηρεσίαν καὶ ἀνάπαυσίν μου, καθὼς ἔχουσι πάντες οἱ τοῦ μοναστηρίου ἀδελ(φ)οί. || [30] εἴπερ δὲ συμβαίη μὴ ἀπελθεῖν με ἐκεῖ, ἵνα ἔχῃ τὴν συμφωνίαν καὶ κατάστασ(ιν) ταύτην, τοῦ τε || [31] κελλίου καὶ τοῦ ἀδελφάτου, εἴς τις τῶν γνησίων μου παίδων, ὃν ἂν ἐγὼ διακρίνω. καὶ || [32] τούτου γινομ(έν)ου παρὰ τῆς μονῆς, καθὼς εἶπον, ὀφείλει αὕτη κατέχειν τὴν ῥηθεῖσαν εἰς τὸ Πρι || [33] νάριον γῆν ἀκωλύτως πάντῃ καὶ ἀνεμποδίστως μετὰ καὶ τοῦ χειμαδίου ἔτι τε ἀναφαιρέτ(ως) || [34] καὶ ἀναποσπάστως κ(α)τ' ἀναφαίρετον κληρονομίαν, μηδενὸς ὄντος τοῦ ἀντικαθισταμένου || [35] αὐτῇ, ἐφ' οἷς ἂν ἔχοι πράττειν ἐπ' αὐτῇ, μήτε ἐμοῦ αὐτοῦ, μήτε τινὸς ἑτέρου

---

27 βρεβείῳ

προσώπου || [36] *συγγενικοῦ μοι, εἰ καὶ τῶν λίαν γνησιωτάτων ἐστίν, ἢ ἐξω-*
τερικοῦ. εἰ δέ τις πειραθείη ποτὲ || [37] *τῶν καιρῶν ἀποσπάσαι τ(ὴν) εἰρη-*
μ(έν)ην γῆν ἀπὸ τῆς μονῆς ταύτης ἢ ὅλην ἢ μέρος, ἵνα ἔχῃ τὰς ἀρὰς || [38]
τῶν ἁγίων πάντων καὶ τῆς Παναγί(ας) δεσποίνης ἡμῶν τῆς Θ(εοτό)κου.
ὁ δὲ τοιοῦτος ὀφείλει καὶ παρὰ παντὸς || [39] *δικαστηρίου ἀποδιώκεσθαι ὡς*
ἱερόσυλος. τὰ γὰρ ἅπαξ ἀφιερωθέντα τῷ Θ(ε)ῷ ἀναπόσπαστα ὀφεί || [40] *λουσι*
μένειν εἰς τ(οὺς) ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόν(ους). τούτου γὰρ χάριν
ἐγένετο καὶ τὸ παρὸν ἀφιερω || [41] *τήριόν μου γράμμα, πιστωθὲν τῇ ἡμετέ-*
ρᾳ οἰκειοχείρῳ ὑπογραφῇ καὶ ταῖς τῶν γνησίων μου παίδων || [42] *καὶ ὑπὸ*
μαρτύρων ἀξιοπίστων βεβαιωθὲν καὶ διὰ πάντων ἀσφαλῶς τελεσιουργη-
θέν, καὶ ἐπεδόθη || [43] *τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ, τῇ εἰς ὄνομα τιμω-*
μ(έν)ῃ τ(ῆς) πανυπεράγνου δεσποίνης ἡμῶν Θ(εοτό)κου || [44] *καὶ ἐπικεκλη-*
μ(έν)ῃ τοῦ Βατοπεδίου, ἐπὶ τῷ προσεῖναι αὐτῇ εἰς μόνιμον καὶ διηνεκῆ
τὴν ἀσφάλειαν. || [45] *κ(α)τ(ὰ) μῆνα Αὔγουστον τ(ῆς) ἐνισταμ(ένης) ὀγδόης ἰν-*
(δικτιῶν)ος τοῦ ϛου ωου ἑβδομηκοσιοῦ ὀγδόου ἔτους ✝

|| [46] *✝ ὁ δοῦλ(ος) τοῦ κρατ(αιοῦ) καὶ ἁγ(ίου) ἡμῶν αὐθέντ(ου) καὶ βασι-*
λ(έως)

✝ Μ(ι)χαὴλ ὁ Καβαλάρης ✝

[47] *✝ ὁ δοῦλ(ος) τοῦ κρατ(αιοῦ) καὶ ἁγ(ίου) ἡμῶν αὐθέντ(ου) καὶ βασιλ(έως)*
✝ Ἰω(άν)ης Καβαλλάριος ὁ Τζαμπλάκων ✝

[48] *✝ ὁ δοῦλ(ος) τοῦ κρατ(αιοῦ) καὶ ἁγ(ίου) ἡμῶν αὐθέντ(ου) καὶ βασιλ(έως)*
✝ Ἀλέξιος Καβαλάριος ὁ Τζαμπλάκων ✝

[49] *✝ ὁ δοῦλ(ος) τοῦ κρατ(αιοῦ) καὶ ἁγ(ίου) ἡμῶν αὐθέντου καὶ βασιλ(έως)*
✝ Δημήτρ(ιος) ὁ Μελιτηνιώτ(ης) μ(α)ρ(τυρῶν) ὑ-
π(έγραψα) †

[50] *ὁ δοῦλ(ος) τοῦ κρατ(αιοῦ) καὶ ἁγ(ίου) ἡμῶν αὐθέντ(ου) καὶ βασιλ(έως)*
. . . . . .

[51] *✝ ὁ ῥαιφερενδ(ά)ρ(ιος) τ(ῆς) ἁγιωτ(ά)τ(ης) μητρο-*
πόλ(εως) Ἐξαμιλίου Μιχαὴλ ἱερεὺς ὁ Κρ[υονε-
ρίτης] ✝

[52] *✝ ὁ εὐτελὴς ἱερεὺς καὶ ταβουλλάριος Μιχαὴλ*
ὁ Ζωμῆς μ(α)ρτυρῶν ὑπ[έγραψα] ✝

[53] *✝ ὁ ταβουλλάριος τ(ῆς) ἁγιωτ(ά)τ(ης) τ(οῦ)*
Θεοῦ μεγάλης Ἐκκλησί(ας) διάκονος || [54] *Δημή-*
τριος ὁ [..... μα]ρτυρῶν ὑπέγραψα ✝

Παρατηρήσεις.

Στ. 22 4 α: *καὶ μνημονεύεσθαι ἔξω καὶ αὐτοὶ συνήθως παρὰ τῶν μοναχῶν* = στ. 27/8 4 β: *ὡσὰν μνημονευώμεθα καὶ ἡμεῖς ἔξω παρὰ τῶν μοναχῶν κατὰ τὴν συνήθειαν.* Ἡ δευτέρα διατύπωσις εἶναι ἡ ὀρθοτέρα. Ἡ μνημόνευσις τοῦ ὀνόματος τοῦ δωρητοῦ καὶ τοῦ ὀνόματος τοῦ ἀδελφοῦ του θὰ γίνεται ἔξω τοῦ Ἱεροῦ καὶ κατὰ τὴν

μεγάλην Εἴσοδον τῶν ἁγίων καὶ τιμίων δώρων καὶ ὄχι εἰς τὴν Πρόθεσιν, ὅπου μνημονεύονται τὰ ὀνόματα τῶν κοινῶν πιστῶν.

Στ. 46 4 α = στ. 48 4 β: *Ἀλέξιος Καβαλλάριος ὁ Τζαμπλάκων.* Ὁ ὑπογράφων οὕτω φέρει τὸ αὐτὸ ὄνομα τοῦ ἀποθαμένου θείου του, ἀδελφοῦ τοῦ πατρός του Μιχαήλ.

Στ. 51 4 β: *τῆς ἁγιωτάτης μητροπόλεως Ἐξαμιλίου.* Μητρόπολις τῆς ἐπαρχίας Θράκης ὑπαγομένη εἰς τὸν τρίτον ἀρχιεπισκοπικὸν θρόνον. Βλ. Notitias Episcopatum. Migne, PGr. 107, στήλ. 372: δ' ὁ Ἐξαμιλλίου.

5.

Σιγιλλιῶδες γράμμα τοῦ πατριάρχου **Φιλοθέου** (τοῦ Κοκκίνου, 1354—1355 καὶ 1364—1376) πρὸς τὴν μονὴν **Βατοπεδίου**, ἐπιβεβαιοῦν τὴν δωρεὰν τοῦ Μιχαὴλ Καβαλλαρίου Τζαμπλάκωνος τοῦ Αὐγούστου 1370 πρὸς τὴν αὐτὴν μονήν, τοῦ **Σεπτεμβρίου 1371.**

Ἀρχεῖον: Φωτογραφία Σπ. Π. Π. (λευκὸν ἐπὶ μαύρου). Εἰς τὸ κάτω ἀριστερὸν ἄκρον ἐπὶ συμφωτογραφηθέντος τεμαχίου χάρτου: Βατοπ. Σιγίλλιον 3, 34.

Ἐξωτερικόν: Μακρόστενον σχῆμα. Ἄνευ φθορῶν. Εἰς τὸ κάτω ἄκρον καὶ μετὰ τὴν ὑπογραφὴν τοῦ πατριάρχου συνεφωτογραφήθη ἡ μήρινθος μετὰ τῆς (μολυβδίνης) σφραγῖδος, φερούσης ἔκτυπον τὸ ὄνομα καὶ τοὺς τίτλους τοῦ πατριάρχου: ΦΙΛΟΘΕΟΣ † | ΕΛΕΩ Θ(ΕΟ)Υ ΑΡΧΙ— ΕΠΙΣΚΟΠΟΣ | ΚΩΝ(Σ)ΤΑΝΤΙΝΟ | (Υ)ΠΟΛΕΩΣ ΝΕΑΣ | ΡΩΜΗΣ ΚΑΙ ΟΙ | ΚΟΥΜΕΝΙΚ | (ΟΣ) Π(ΑΤ)ΡΙΑΡΧΗΣ.

Ἀναφερόμενα ἔγγραφα: Ἀναφέρεται τὸ προηγούμενον ἀφιερωτήριον ἔγγραφον τοῦ Μιχαὴλ Καβαλλαρίου Τζαμπλάκωνος.

Ἐκδόσεις: Ἀναφέρεται ὑπὸ Σωφρονίου Εὐστρατιάδου, Γρηγ. Παλαμᾶς 2 (1918), σ. 86, ἀριθ. 34, καὶ Ἑλληνικὰ 3 (1930), σ. 45.

Περιεχόμενον: Ἐπειδὴ ἐχρειάσθη νὰ ἐκδοθῇ καὶ πατριαρχικὸν σιγίλλιον, ἐπικυροῦν τὴν δωρεὰν τοῦ Μιχαὴλ Καβαλλαρίου Τζαμπλάκωνος πρὸς τὴν μονὴν τοῦ Βατοπεδίου, ὁ πατριάρχης σὺν τῇ ἐπαναλήψει ὅλου τοῦ περιεχομένου τοῦ δωρητηρίου ἐγγράφου κηρύσσει ἔγκυρον καί, τηρουμένων τῶν ὅρων, πάντοτε ἰσχυρὰν τὴν συμφωνίαν καὶ θέτει ὑπὸ ἀφορισμὸν πάντα, ὅστις ἤθελεν ἀποπειραθῆ νὰ ἀνατρέψῃ ταύτην.

Ἰδοὺ τὸ κείμενον τοῦ ἐγγράφου:

† Φιλόθεος ἐλέῳ Θ(εο)ῦ ἀρχιεπίσκοπος Κω(νσταντινουπό)λε(ως), Νέ(ας) Ῥώμης καὶ οἰκουμ(ε)νικὸς π(ατ)ριάρχης †.

† Ἐπεὶ ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγ(ίῳ) μου αὐτοκράτ(ο)ρι Καβαλλάριος κῦρ Μιχαὴλ || [2] *ὁ Τζαμπλάκων ἀφιέρωσε διὰ γράμματος αὐτοῦ, πεπιστωμ(έν)ου τῇ οἰκειο* || [3] *χείρῳ αὐτοῦ ὑπογραφῇ καὶ τῶν γνησίων παίδων αὐτοῦ καὶ ἑτέρων ἀξιο* || [4] *πίστων προσώπων καὶ τῇ τοῦ ταβελλίωνος*

πρὸς τὴν κ(α)τ(ὰ) τὸ Ἅγιον Ὄρος τοῦ || [5] Ἄθω σεβασμίαν μονήν, τὴν εἰς ὄνομα τιμωμένην τῆς πανυπεράγνου || [6] μου δεσποίνης καὶ Θεομήτορος καὶ ἐπικεκλημένην τοῦ Βατοπεδίου, ἣν ἔχει ἀπὸ || [7] γονικότητος γῆν εἰς τὸ Πρινάριον μετὰ τοῦ ἐν αὐτῇ χειμαδίου ψυχικῆς || [8] ἕνεκεν σ(ωτη)ρίας αὐτοῦ, ὡσὰν καταγραφῇ τὸ αὐτοῦ ὄνομα καὶ τὸ τοῦ ἀδ(ελφ)οῦ || [9] αὐτοῦ, Καβαλλαρίου τοῦ κυροῦ Ἀλεξίου ἐκείνου, ἐν τῷ τῆς μονῆς ταύτης βρε || [10] βείῳ καὶ μνημονεύωνται καὶ αὐτοὶ συνήθως, ὁπηνίκα δὲ ἐθελήσει ἀπ || [11] ελθεῖν ἐκεῖ, ἵνα διδῶται αὐτῷ κελλίον εἰς καταμονὴν καὶ ἀδελφᾶτον || [12] ἕν, εἰ δὲ οὐ συμβαίη αὐτῷ παραγενέσθαι ἐκεῖ, ἵνα τηρῆται ἡ τοιαύτη κατά || [13] στασις πρὸς ἕνα τῶν παίδων αὐτοῦ, ὃν ἂν οὗτος διακρίνοι, οὗτινος || [14] δηλονότι γράμμ(α)τος ἐμφανισθέντος τῇ ἡμῶν μετριότητι παρὰ τῶν ἑνα || [15] σκουμένων τῇ εἰρημένῃ σεβασμίᾳ μονῇ ἐδέησε προβῆναι ἐπ' αὐτῷ || [16] καὶ γράμμα σιγιλλιῶδες αὐτῆς, τὸ παρὸν ἀπολύει ἡ μετριότης || [17] ἡμῶν, δι' οὗ καὶ παρακελεύεται τὸ στέργον ἔχειν καὶ βέβαιον καὶ τὸ δη- || [18] λωθὲν γράμμα καὶ κατὰ πάντα ἐρρωμμένον καὶ ἀκατάλυτον || [19] κ(α)τ(ὰ) τὴν τούτου περίληψιν ἐπιλάβηται ἡ διαληφθεῖσα μονὴ || [20] τῆς εἰς τὸ Πρινάριον γῆς μετὰ καὶ τοῦ ἐν αὐτῇ χειμαδίου καὶ κατέχῃ || [21] καὶ νέμηται ταύτην μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῆς || [22] κυρίως καὶ δεσποτικῶς, ἔτι τε ἀναφαιρέτως καὶ ἀναποσπάστως || [23] εἰς διηνεκῆ καὶ μόνιμον κληρονομίαν καὶ ἐπικράτειαν, ἔχουσα ἐπ' ἀδεί(ᾳ) || [24] ποιεῖν ἐπ' αὐτῇ πᾶν, ὅπερ ἂν βούληται, μηδενὸς ὄντος τῶν ἁπάντων, || [25] ὅστις ἂν εἴη, εἴτε τῶν συγγενῶν αὐτοῦ καὶ γνησίων, εἴτε καὶ τῶν ἔξωθεν, || [26] τοῦ ὀφείλοντος ἐπενεγκεῖν αὐτῇ τὴν τυχοῦσαν διενόχλησι(ν) καὶ καταδυ || [27] νασταίαν τινὰ καὶ ἐπήρειαν ἕνεκεν τῆς κατοχῆς αὐτῆς ἢ τοῦ βουληθη || [28] σομένου ἀποσπάσαι ταύτην τῆς εἰρημένης μονῆς ἢ ὅλην ἢ μέρος. || [29] εἰ δέ τις εἰς τοῦτο ἀπονοί(ας) ἐλάσαι θελήσειεν, ὥστε χεῖρα πλεονέκτιν καὶ || [30] ἅρπαγα ἐπιθῆναι αὐτῇ καὶ κ(α)τ(ὰ) τῶν τῷ Θ(ε)ῷ ἀφιερωθέντων τολμῆσαι χωρεῖν, || [31] ἅπερ εἰς τὸν ἅπαντα χρόνον παρὰ παντὸς ὀφείλουσιν ἀναπόσπαστα μένειν, || [32] ὁ τοιοῦτος ὑποπεσεῖται μὲν τῇ τῶν ἱεροσύλων καταδίκῃ, ἔχει δὲ αὐτὸν || [33] καὶ ἡ μετριότης ἡμῶν ὑπὸ βάρ(ος) φρικώδους ἐπιτιμίου ἀφορισμοῦ || [34] [.....]. ὀφείλει μέντοι καὶ ἡ ῥηθεῖσα μονή, ἅπερ συνεφώνησε μετὰ τοῦ || [35] Καβαλλαρίου ποιεῖν καὶ καταγράψαι μ(ὲν) ἐν τῷ βρεβείῳ τὸ τούτου ὄνομα || [36] καὶ τὸ τοῦ ἀδε(λφ)οῦ αὐτοῦ, ὁπόταν δὲ ἐθελήσῃ ἐκεῖ παραγενέσθαι, δοῦναι αὐτῷ || [37] κελλίον εἰς καταμονὴν καὶ ἀδελφᾶτον ἕν. εἰ μέντοι γε οὐκ ἀπέλθοι οὗτος, || [38] ἵνα τηρῆται ἡ συμφωνία αὕτη, πρὸς ὃν ἂν αὐτὸς διακρίνοι παῖδα αὐτοῦ. || [39] καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται καὶ τὸ παρὸν σιγιλλιῶδ(ες) || [40] γράμμα τῆς ἡμῶν μετριότητος κ(α)τ(ὰ) μῆνα Σεπτέβριον τῆς ἐνισταμένης || [41] ἐνάτης ἰν(δι-

---

10 βρεβίῳ ἐθελήσῃ. 18 ἐρρωμένον 35 βρεβίῳ 40 Σεπτέμβριον

κτιῶνος) τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἑβδομηκοστοῦ ἐνάτου ἔτους ϯ. ‖ [42] *ϯ Φιλόθεος ἐλέῳ Θ(εο)ῦ ἀρχι* ‖ [43] *επίσκοπος Κωνσταντινουπόλ(εω)ς* ‖ [44] *Νέας Ρώμης καὶ οἰκουμενικὸς* ‖ [45] *π(ατ)ριάρχης ϯ.*

Παρατηρήσεις

Στ. 4: *καὶ τῇ τοῦ ταβελλίωνος* (ὑπογραφῇ). Ἐκ τῆς μνείας τῆς ὑπογραφῆς τοῦ ταβελλίωνος, τοῦ ὑπογράψαντος ἀντὶ τοῦ Φακρασῆ τὴν δευτέραν παραλλαγὴν τοῦ ἐγγράφου τοῦ Μιχαὴλ Καβαλλαρίου Τζαμπλάκωνος (στ. 53 4 β: ὁ ταβουλλάριος), καὶ ἐκ τῆς φράσεως «*ὁ τοιοῦτος ὑποπεσεῖται μὲν τῇ τῶν ἱεροσύλων καταδίκῃ*» (στ. 32), ἡ ὁποία μόνον εἰς τὴν δευτέραν παραλλαγὴν τοῦ ἐγγράφου τοῦ Μιχαὴλ Τζαμπλάκωνος ὑπάρχει (στ. 39 4 β: *ἀποδιώκεσθαι ὡς ἱερόσυλος*), καταφαίνεται ὅτι ὁ πατριάρχης τὴν δευτέραν ταύτην παραλλαγὴν ἔχει ὑπ' ὄψει του καὶ αὐτὴ ἦτο ἡ ἐπίσημος μορφὴ τοῦ ἐγγράφου, ἡ ὁποία ἐπεδείχθη εἰς τὸν Πατριάρχην. Περὶ τοῦ ἐκκλησιαστικοῦ ἀξιώματος τοῦ ταβελλίωνος βλ. Ducange, Gl. Gr. ἐν λέξει ταβελλίων (= ταβουλλάριος, ὁ γράφων τὰ συμβόλαια. Gl. Basilic. = νομικός). Νομικός, ἐν ὀγδόῃ πεντάδι παρὰ Ψευδο-Κωδινῷ, Βόνν. σ. 6. Χρυσοστόμου Μ. Δημητρίου, Οἱ ἐξωκατάκοιλοι ἄρχοντες κλ., ἔνθ' ἀνωτ. σ. 25.

6.

Ἐνοικιαστήριον ἔγγραφον τοῦ **Ἀλεξίου Τζαμπλάκωνος** πρὸς τὴν μονὴν τοῦ **Βατοπεδίου**, τοῦ **Μαρτίου 1376.**

Ἀρχεῖον: Φωτογραφία Σπ. Π.Π. (λευκὸν ἐπὶ μαύρου). Κάτω καὶ εἰς τὸ μέσον τοῦ πλάτους τοῦ ἐγγράφου, μεταξὺ τῶν δύο ὑπογραφῶν ἐπὶ συμφωτογραφηθέντος τεμαχίου χάρτου: Βατοπ. 3, 29.

Ἐξωτερικόν: Σχεδὸν τετράγωνον σχῆμα. Ἄνευ φθορῶν.

Γραφή: Βιαστική, ἀκαλλιγράφητος γραφὴ ἰδιωτικοῦ ἐγγράφου τοῦ ΙΔ' αἰ. μετ' ὀλίγων συντομογραφιῶν καὶ ἄνευ σχεδὸν ὀρθρογραφικῶν σφαλμάτων.

Ἀναφερόμενα ἔγγραφα: Ἀναφέρεται ὅτι τὸ παρὸν ἔγγραφον ἐγένετο εἰς διπλοῦν. Διεσώθη βεβαίως τὸ τῆς μονῆς ἀντίγραφον. Ἀναφέρονται ἀορίστως πρόσταγμα ἀγνώστου ἄρχοντος καὶ ἄλλα κτητορικὰ ἔγγραφα (ἀφιερωτήρια) τοῦ ἐν Βεροίᾳ μετοχίου τοῦ Προδρόμου, ἀποδεικνύοντα τὴν ἐπὶ τοῦ περιβολίου κυριότητα τῆς μονῆς Βατοπεδίου. Διεσώθησαν. Βλ. περαιτέρω παρατήρησιν εἰς στ. 3-5 τοῦ παρόντος ὑπ' ἀριθ. 6 ἐγγράφου.

Ἐκδόσεις: Ἀναφέρεται ὑπὸ Σωφρονίου Εὐστρατιάδου, ἐν Γρηγ. Παλαμᾷ 2 (1918), σ. 85, ἀριθ. 29.

Περιεχόμενον: Ὁ Ἀλέξιος Τζαμπλάκων, κατέχων κληρονομικῶς παρὰ τοῦ μακαρίτου πατρός του καὶ τοῦ μακαρίτου πάππου του, μεγάλου παπία τοῦ Τζαμπλάκωνος, περιβόλιον ἐντὸς τῆς Βεροίας, ὁμολογεῖ ὅτι κατόπιν τῆς γενομένης δίκης καὶ σχετικῆς ἐξετάσεως, καθ' ἣν ἡ μονὴ προσεκόμισε πρόσταγμα ἄρχοντος καὶ ἄλλα κτητορικὰ ἔγγραφα, τὸ περιβόλιον

ἀνήκει πράγματι εἰς τὸ ἐν Βεροίᾳ μετόχιον τοῦ Προδρόμου τῆς μονῆς Βατοπεδίου, τὸ ἱδρυθὲν ὑπὸ τοῦ Σαραντηνοῦ. Μετὰ τὴν ὑπὲρ τῆς μονῆς ἐκδοθεῖσαν ἀπόφασιν τοῦ δικαστηρίου, ἐνθυμούμενος τώρα καὶ τὴν μεγάλην ἀγάπην τοῦ πάππου του, μεγάλου παπία, πρὸς τὴν μονὴν καὶ τὰς πολλὰς δωρεάς του πρὸς αὐτὴν ὀλίγον πρὸ τοῦ θανάτου του, ἀνακαλύπτει καὶ τὴν ἰδικήν του καλὴν διάθεσιν πρὸς τὴν μονήν. Ἐπειδὴ ὅμως ἀγαπᾷ πολὺ τὸ περιβόλιον, εἰς τὸ ὁποῖον τὰ περισσότερα τῶν δένδρων ἐφύτευσεν ὁ ἴδιος, ἐπιθυμεῖ νὰ κρατήσῃ τοῦτο ἐφ᾽ ὅσον ζῇ, πληρώνων ἐνοίκιον πρὸς τὴν μονὴν ἐξ οὐγγίας δουκάτων κυκλοφοροῦντος καθαροῦ νομίσματος, καὶ μετὰ θάνατον νὰ περιέλθῃ τοῦτο μετὰ πασῶν τῶν γενομένων ἐν αὐτῷ βελτιώσεων εἰς τὴν μονήν, ἡ ὁποία τότε μόνον δικαιοῦται νὰ καταργήσῃ ὁριστικῶς καὶ τὴν θύραν, διὰ τῆς ὁποίας τὸ περιβόλιον συγκοινωνεῖ πρὸς τὴν παρακειμένην οἰκίαν του. Τὴν συμφωνίαν ταύτην οὐδεὶς ἐκ τῶν κληρονόμων του ἢ ἄλλων συγγενῶν του ἔχει δικαίωμα νὰ ἀνατρέψῃ. Ἐὰν δὲ ὁ ἴδιος δυστροπήσῃ εἰς τὴν καταβολὴν τοῦ ἐνοικίου, διαλυομένης τῆς συμφωνίας, ἡ μονὴ θὰ ἀναλάβῃ τὸ κτῆμά της καὶ θὰ καταργήσῃ τὴν πρὸς τὴν οἰκίαν του θύραν συγκοινωνίας τοῦ περιβολίου. Τὸ ἔγγραφον τῆς συμφωνίας ταύτης ἐγένετο εἰς διπλοῦν καὶ ἕκαστον μέρος ἔλαβεν ἓν ἀντίγραφον.

Ἰδοὺ τὸ κείμενον τοῦ ἐγγράφου:

✝ Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέ(ως) Ἀλέξιος ὁ Τζαμπλάκων, γράμμασιν οἰκειοχείροις ἐν τῷ τέλει ὑποτάξαι ὀφείλων, ‖ [2] *τὸ παρὸν τῆς ἐκλήψεως ἔγγραφον τίθεμαι καὶ ποιῶ ἑκουσί(ως) καὶ ἀμεταμελήτ(ως) εἰδήσει καὶ γνώμῃ καὶ τοῦ εὐαγοῦς βασιλικοῦ σεκρέτου πρὸς σὲ* ‖ [3] *τὸν τιμιώτατον ἐν ἱερομονάχοις καὶ οἰκονόμον τοῦ ἐν τῇ θεοσώστῳ πόλει Βεροίᾳ μετοχίου τῆς σε(βασμίας) βασιλικῆς μονῆς τοῦ Βατοπεδίου,* ‖ [4] *τοῦ εἰς ὄνομα τιμωμένου τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ ἐπικεκλημένου τοῦ Σαραντηνοῦ [μονύδρ]ιον, καὶ διὰ σοῦ πρὸς* ‖ [5] *ἅπαν τὸ μέρος τῆς σε(βασμίας) τοῦ Βατοπεδίου μονῆς, ἐπειδὴ γὰρ ἕνεκα τοῦ ἐν τῇ αὐτῇ πόλει Βεροίᾳ περιβολίου, τοῦ κατὰ τὴν γειτονίαν τοῦ Σκωρονύχου* ‖ [6] *διακειμ(έ)νου, ὅπερ κατεῖχον ἐγὼ ἐκ διαδοχῆς ἀπό τε τοῦ μακαρίτου αὐθέντου καὶ π(ατ)ρ(ό)ς μου καὶ ἀπὸ τοῦ μακαρίτου αὐθέντου καὶ πάππου μου, μεγάλου* ‖ [7] *παπίου τοῦ Τζαμπλάκωνος, ἐπὶ χρόνοις ἤδη πολλοῖς, γέγονεν ἀρτίως κρίσις καὶ ἐξέτασις καὶ ἀνεφάνη ἀπὸ τῶν ὑπὸ σοῦ προ<σ>κομισθέντων* ‖ [8] *δικαιωμ(ά)τ(ων) καὶ τοῦ θείου καὶ προσκυνητοῦ προστάγμ(α)τος, μᾶλλον δὲ πρὸ τούτων καὶ ἀπὸ τῆς ὁμολογί(ας) ἐμοῦ, ἐλεγχθέντος ὑπὸ τῆς οἰκεί(ας)* ‖ [9] *συνειδήσε(ως), ὅτι ὁμολογουμένως ἐστὶ τὸ περιβόλιον τοῦ Προδρόμου, ἤτοι τῆς καθ᾽ ὑμ(ᾶς) σε(βασμίας) βασιλικῆς μονῆς τοῦ Βατοπεδίου, καὶ* ‖ [10] *διὰ τοῦτο ἐδικαιώ-*

---

3 Βερροίᾳ 5 Βερροίᾳ 7 Σκορονύχου

θητε εἰς τὴν δεσποτείαν αὐτοῦ. μετὰ δὲ τοῦτο προεβαλλόμην ἐγὼ τὴν σχέσιν καὶ διάθεσιν, ἣν εἶχεν ὁ μακαρίτης αὐθέντης || [11] καὶ πάππος μου, ὁ μέγας παπί(ας) ἐκεῖνος, πρὸς τὴν καθ' ὑμᾶς μονήν, καὶ ὅση<ν> ζῶν καὶ ἐν τῇ τελευτῇ αὐτοῦ ἐνεδείξατο πρὸς ὑμ(ᾶς). πρὸς δὲ || [12] τούτοις ἀνεκάλυψα καὶ τὸν ἡμέτερον σκοπόν τε καὶ λογισμόν, ὃν ἔχω πρὸς τὴν μονήν, καὶ διὰ ταῦτα ἐζήτησα καὶ ἠξίωσα σέ τε τὸν || [13] οἰκονόμον καὶ τοὺς ἀπὸ τῆς μεγάλης μονῆς εὑρεθέντας ἐνταῦθα τιμιωτάτους ἱερομονάχους καὶ λοιποὺς ἁγίους π(ατέ)ρας, ἵνα || [14] τέρψεως χάριν καὶ ἡδονῆς, ἧς ἔχω ἐν τῷ περιβολίῳ, καὶ ὅτι ἄνευ τῶν συκαμίνων τὰ λοιπὰ τῶν δένδρων κατεφύτευσα ἐγὼ οἰκείαις || [15] χερσὶν ἐάσητε τοῦτο ἐπὶ πάκτῳ ἐφ' ὅρῳ παντὶ τῆς ἐμῆς μόνης ζωῆς, μετὰ δὲ ταῦτα ἀναλάβηται τοῦτο ἡ μονή, μεθ' ὧν || [16] ἐν αὐτῷ ποιήσω βελτιωμ(ά)τ(ων) καὶ ἀπὸ τῶν κτημ(ά)τ(ων) μου, ὅσον ἂν ὁδηγηθῶ ἀπὸ τοῦ Θ(εο)ῦ, καὶ κατενεύσατε πρὸς τοῦτο καὶ ὑμεῖς || [17] καὶ συνέθεσθε, ἀπιδόντες πρὸς τὴν ἡμετέραν εὐγνωμοσύνην, ὅτι ἀπήλλαξα ὑ(μᾶς) προθεσμιῶν καὶ λοιπῶν ἄλλων ἀναγκαίων, || [18] ἅπερ ἔχει ἡ μετὰ φιλονεικί(ας) κρίσις. ἰδοὺ ἐκλαμβάνομαι τὸ τοιοῦτον περιβόλιον ὑμῶν μετὰ πάντων τῶν δικαί(ων) καὶ προνομί(ων) αὐτοῦ || [19] ἐπὶ συμφωνίᾳ τοιαύτῃ, ὡσὰν κατέχω καὶ νέμωμαι καὶ τὴν ἐξ αὐτοῦ πᾶσαν ἀποφέρωμαι πρόσοδον μονομερῶς καὶ παρ' ὅλην μου τὴν ζωήν, || [20] βελτιῶν καὶ συνιστῶν αὐτὸ μετὰ φόβου Θ(εο)ῦ κατὰ πάντα μοι τὸν ἐγχωροῦντα καὶ δυνατὸν τρόπον καὶ παρέχω κατ' ἐνιαυτὸν πρὸν τὴν || [21] μονὴν χάριν πάκτου αὐτοῦ δουκάτων πραττομέν(ων) ἀψόγων οὐγγί(ας) ἐξ ἀπροφασίστως καὶ μετὰ πάσης εὐθύτητος καὶ ἀληθεί(ας) καὶ γίνητ(αι) || [22] τοῦτο, ἕως ἂν μετὰ τῶν ζώντων τελῶ, ἡνίκα δὲ τελευτήσω, παραλάβῃ τοῦτο ἡ μονή, μεθ' ὧν ἂν ἐν αὐτῷ ποιήσω βελτιωμάτων, || [23] καὶ ἔχῃ τοῦτο κατὰ τελείαν δεσποτείαν καὶ ἀναφαίρετον κυριότητα καὶ ἄλλο, εἴ τι ὁδηγηθεὶς ἀφήσω ἐκ τῶν ἡμετέρων κτημ(ά)τ(ων), μηδεμί(αν) || [24] ἄδειαν ἐχόντων τῶν παίδων μου ἤ τινος ἑτέρου τῶν ἡμετέρων μετὰ τὴν ἐμὴν τελευτὴν ἢ περὶ τοῦ περιβολίου ἢ περὶ τοῦ κτήματος, οὗπερ ἀφιερώσω, || [25] τὸν οἰονδήτινα λόγον κινήσας ἢ ὅλως τῇ μονῇ διενοχλήσας. ταῦτα μὲν μετὰ τὴν ἐμὴν τελευτήν. εἰ δ' ἔτι τῷ βίῳ περιὼν ἐγὼ σκληρὸς || [26] φανῶ καὶ ἀγνώμων περὶ τὴν τοῦ ταχθέντος πάκτου ἀπόδοσιν ἢ τοῖς αὐτόθι λοιποῖς τοῦ μοναστηρίου δικαίοις ἐπήρειάν τινα || [27] ἢ βλάβην ἢ ζημίαν προξενῶν, ἵν' αὐτίκα τοῦ πακταλίου ἀναιρουμ(έν)ου ἀναλαμβάνηται ἡ μονὴ τὸ ἑαυτῆς περιβόλιον καὶ ποιῇ || [28] εἰς αὐτὸ τὸ δοκοῦν αὐτῇ, φραττομένης αὐτίκα καὶ τῆς τοῦ ἡμετέρου οἰκήματος θυρικῆς ὑπανοίξε(ως), δι' ἧς εἰσάγομαι εἰς τὸ || [29] περιβόλιον, ἐφ' ὅσον δὲ εὐγνωμονῶν παρέχω τὸ συμφωνηθὲν πάκτον, ἐνεργῇ καὶ ἡ θύρα, κτισθῇ δὲ μετὰ τὴν ἐμὴν τελευτήν, || [30] ὅταν καὶ τὸ περιβόλιον ἀναλάβηται ἡ μονή. ἐπὶ τούτῳ γὰρ καὶ δύο πρὸς ἀλλήλ(ους) ἀμοιβαῖα ἐξεθέμεθα ἔγγραφα, μη(νὶ) Μαρτ(ίῳ) ιβ', || [31] ἰν(δικτιῶνος) ιδ', ἔτους ϛωπδου †

32 † ὁ δοῦλος τοῦ κρατ(αιοῦ) καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέ(ως) †
Ἀλέξιος ὁ Τζαμπλάκων †
33 † Ἰωάννη(ς) κληρικὸς ὁ Σγουρόπ(ου)λος γράψας καὶ μ(α)ρ(τυρ)ῶν ὑπ(έγραψ)α †

Παρατηρήσεις

Στ. 2: *τοῦ εὐαγοῦς βασιλικοῦ σεκρέτου* Πρόκειται περὶ τοῦ δικαστηρίου τοῦ καθολικοῦ κριτοῦ, τοῦ δικάσαντος τὴν μεταξὺ τῆς μονῆς τοῦ Βατοπεδίου καὶ τοῦ Ἀλεξίου Τζαμπλάκωνος διαφορὰν ἐν Θεσσαλονίκῃ ἢ ἴσως ἐπὶ τόπου. Περὶ τοῦ βασιλικοῦ σεκρέτου βλ. P. Lemerle, Recherches sur les institutions judiciaires à l'époque des Paléologues. Παγκάρπεια. Mélanges Henri Grégoire (Annuaire de l' Institut de Philologie et d'histoire orientales et slaves, tom. IX). Bruxelles 1949, p 372/3. Περὶ τῶν τοπικῶν καθολικῶν κριτῶν βλ. Lemerle, ἐνθ' ἀνωτ. σ. 377. Πβλ. καὶ παλαιότερον Τοῦ αὐτοῦ, Le juge général des Grecs et la réforme judiciaire d' Andronic III. Mémorial Luis Petit (Archives de l' Orient Chrétien, I). Bucarest 1948, p. 310.

Στ. 3-5: *ἐν Βεροίᾳ μετοχίου... τοῦ... Προδρόμου... ἐπικεκλημένου τοῦ Σαραντηνοῦ.* Εἰς τὴν μονὴν τοῦ Βατοπεδίου ὑπάρχουν τὰ ἔγγραφα τῆς ὑπὸ τοῦ σκουτερίου Θεοδώρου τοῦ Σαραντηνοῦ ἱδρύσεως τοῦ μοναστηρίου τοῦ Προδρόμου παρὰ τὴν Βέροιαν καὶ τῆς ἀφιερώσεως αὐτοῦ εἰς τὴν μονὴν Βατοπεδίου ὡς μετοχίου. Τὰ ἔγγραφα ταῦτα εἶναι: 1) Χρυσόβουλλος λόγος τοῦ αὐτοκράτορος Ἀνδρονίκου Β' Παλαιολόγου τοῦ 1324: Βατοπ. 3, 25. 2) Ἡ διαθήκη τοῦ σκουτερίου Θεοδώρου τοῦ Σαραντηνοῦ τοῦ 1325: Βατοπ. 3, 26. 3) Πρακτικὸν ἀπογραφέως τῶν κτημάτων τῆς μονῆς Προδρόμου τοῦ 1338: Βατοπ 3, 27. 4) Σημείωμα δικαστικῆς ἀποφάσεως ἐκκλησιαστικοῦ δικαστηρίου ὑπὸ τὸν μητροπολίτην Θεσσαλονίκης Δωρόθεον ἐπὶ τῆς διεκδικήσεως τοῦ μετοχίου τοῦ Προδρόμου ὑπὸ τῆς ἐπαρχίσσης Ἀριανιτίσσης τοῦ 1375: Βατοπ. 3, 28. 5) Ἀφιερωτήριον ἔγγραφον τῆς Θεοδώρας Σουλτανίνας Μονομαχίνας πρὸς τὴν μονὴν τοῦ Προδρόμου τοῦ 1376: Βατοπ. 3, 30. (Φωτογραφίαι Σπ. Π. Π.). Βλ. καὶ Σωφρονίου Εὐστρατιάδου, Ἁγιορειτικῶν κωδίκων σημειώματα. Β' ἐκ τοῦ ἀρχείου τῆς μονῆς Βατοπεδίου. Γρηγ. Παλαμᾶς 2 (1918), σ. 84/5, ἀριθ. 25, 26, 27, 28, 30. Εἰς τὸ ὑπ' ἀριθ. 2 (στ. 89) ἀναφέρεται ἡ ἀνωτέρω (στ. 5) «κατὰ τὴν γειτονίαν τοῦ Σκορονύχου αὐλὴ» τοῦ ἡμετέρου ἐγγράφου.

Στ. 21: *δουκάτων πραττομένων* κυκλοφορούντων χρυσῶν νομισμάτων, ἐν ἀντιθέσει πρὸς παλαιοτέρους τύπους τοῦ αὐτοῦ μὲν νομίσματος, ἀλλὰ διαφορετικοῦ εἰς βάρος χρυσοῦ καὶ ἐκτὸς κυκλοφορίας. Τὰ τοιαῦτα νομίσματα ἐλέγοντο καὶ πολιτευόμενα. Βλ. V. Laurent, Τὸ πολιτικόν. Monnaie divisionnaire de l'époque des Paléologues. Cronica Numismatica si Arheologica. Bukarest 1940, Nr. 119-120. Βιβλιοκρισία ὑπὸ Fr. Dölger ἐν BZ 42 (1943-49), 360 κέ. Πβλ. H. Hunger ἐν BZ 48 (1955), 301 (Bem. Z. 5).

3. Τζαμπλάκωνες τοῦ ΙΓ' αἰῶνος.

Εἰς τὸ πρῶτον ἔγγραφον ἡμῶν (1, τοῦ 1355) ἀναφέρονται τρεῖς γενεαὶ Τζαμπλακώνων, πάππος δηλαδή, υἱὸς καὶ ἔγγονος. Εἰς τὸ ἔγγραφον ὁμιλεῖ ὁ ἔγγονος, ὁ μοναχὸς τῆς μονῆς Βατοπεδίου Ἀρσένιος Τζαμπλάκων, καὶ ἀναφέρει ἀνωνύμως τὸν πατέρα του, ἀπὸ τοῦ ὁποίου ἐκληρονόμησε μέρος τοῦ κτήματος Πριναρίου, καὶ τὸν πάππον του, δομέστικον τῶν σχολῶν ἐπὶ αὐ-

τοκράτορος Ἰωάννου Γ' Δούκα Βατάτζη (1222 –1254), εἰς τὸν ὁποῖον ὁ αὐτοκράτωρ οὗτος ἐδώρησε τὸ πρῶτον τὸ ἐν λόγῳ κτῆμα.[1] Ὁ δομέστικος τῶν σχολῶν λοιπὸν Τζαμπλάκων δύναται νὰ θεωρηθῇ ὡς ὁ γενάρχης τῆς οἰκογενείας τῶν Τζαμπλακώνων τοῦ ΙΔ' αἰῶνος, διότι εἶναι ὁ πρῶτος τόσον ἐνωρὶς ἀναφερόμενος Τζαμπλάκων, ὁ ὁποῖος ἀπέκτησε μέγα στρατιωτικὸν ἀξίωμα[2] καὶ ἤρχισε νὰ σχηματίζῃ τὴν περιουσίαν τῆς οἰκογενείας ἤδη πρὸ τῆς ἀνακαταλήψεως τῆς Κωνσταντινουπόλεως τὸ 1261. Τόσον δὲ αὐτός, ὥριμος βεβαίως ἀνὴρ ἐπὶ Βατάτζη, ὅσον καὶ ὁ υἱός του, ὁ πατὴρ τοῦ μοναχοῦ Ἀρσενίου Τζαμπλάκωνος, ἀνήκουν εἰς τὸν ΙΓ' αἰῶνα καὶ πρέπει νὰ ἀναζητηθοῦν εἰς τὰς συγχρόνους πηγάς.

Εἰς ταύτας ὅμως δὲν ἀναφέρεται, ὡς γνωστόν, δομέστικος τῶν σχολῶν Τζαμπλάκων, τοὐλάχιστον εἰς τοὺς συγχρόνους ἱστοριογράφους, ὡς π. χ. ὁ κατ' ἐξοχὴν ἱστορικὸς τῆς ἐποχῆς Ἀκροπολίτης, ἄλλως ὁ δομέστικος θὰ ἦτο ἤδη γνωστὸς καὶ πρὸ τῆς μνείας του εἰς τὸ ἀνέκδοτον μέχρι τοῦδε ἔγγραφόν μας. Τοὐναντίον ὁ Παχυμέρης ἀναφέρει ὅτι ὁ αὐτοκράτωρ Μιχαὴλ Η' Παλαιολόγος (1259 –1282) διώρισε τὸ 1272 «*τατᾶν τῆς αὐλῆς*», παιδαγωγὸν δηλαδὴ τῶν βασιλικῶν πριγκίπων, τὸν ἐκ Χριστουπόλεως (Καβάλας) καταγόμενον Τζαμπλάκωνα.[3] Χρονολογικῶς ὁ τατᾶς οὗτος Τζαμπλάκων τοῦ 1272 εἶναι κατὰ μίαν σχεδὸν γενεὰν νεώτερος τοῦ δομεστίκου τῶν σχολῶν Τζαμπλάκωνος. Τοῦτο, διότι, ἐνῷ ὁ εἷς εὑρίσκεται πρὸ τοῦ 1254 εἰς τὴν κορυφὴν τῆς σταδιοδρομίας του ὡς δομέστικος τῶν σχολῶν, ὁ ἕτερος εὑρίσκεται τὸ 1272 εἰς τὴν ἀρχὴν σχεδὸν τῆς ἰδικῆς του, ὡς ἁπλοῦς τατᾶς. Ἀλλὰ τοπικῶς πλησιάζουν οὗτοι, διότι ὁ μὲν δομέστικος ἔλαβε παρὰ τοῦ αὐτοκράτορος κτῆμα, κείμενον ὀλίγον δυτικώτερον τῆς Χριστουπόλεως,[4] ὁ δὲ τατᾶς κατήγετο ἐξ αὐτῆς ταύτης τῆς Χριστουπόλεως.

---

[1] Ἐπαναλαμβάνομεν τὸ χωρίον τοῦ ἐγγράφου 1, στ. 11 - 13: «...*ἤγουν τὴν μερίδα, ἣν ἐνεμόμην, ἀφ' οὗ δέδωκε ταύτην πρός με ὁ αὐθέντης μου ὁ πατήρ μου ἐκεῖνος, ὁ* (κτῆμα Πρινάριον δηλαδὴ) *δέδωκε διὰ θείου καὶ σεπτοῦ χρυσοβούλλου ὁ ἀοίδιμος καὶ μακαρίτης βασιλεὺς κὺρ Ἰωάννης Δούκας ὁ Βατάτζης πρὸς τὸν αὐθέντην καὶ πάππον μου τὸν Τζαμπλάκωνα ἐκεῖνον, τὸν δομέστικον τῶν σχολῶν...*».

[2] Περὶ τοῦ στρατιωτικοῦ ἀξιώματος τοῦ δομεστίκου τῶν σχολῶν βλέπε R. Guilland, Études sur l' histoire administrative de Byzance. Le domestique des Scholes. REB 8 (1950), 5 - 51. Εἰς τὴν μελέτην ταύτην δὲν ἦτο δυνατὸν βεβαίως νὰ εἶναι γνωστὸς ὁ ἐν ἀνεκδότῳ ἐγγράφῳ ἀναφερόμενος δομέστικος τῶν σχολῶν Τζαμπλάκων.

[3] Παχυμ., Βόνν. Ι, 319, 1: «...*καὶ τρίτον τὸν ἐκ Χριστοῦ πόλεως Τζαμπλάκωνα τατᾶν τῆς αὐλῆς αὐτοῦ ἐγκαθίστησιν* (ὁ Μιχαὴλ Η')». Τί ἦτο ὁ τατᾶς, μᾶς τὸ ἐξηγεῖ ὁ Δούκας, Βόνν. σ. 250, 14: «...*ὡς εἴποι τις κατὰ τὴν ἡμετέραν κοινὴν γλῶσσαν τατᾶ ἤγουν παιδαγωγέ..*».

[4] Τὸ κτῆμα Πρινάριον ἔκειτο, ὡς θὰ ἴδωμεν περαιτέρω, εἰς τὴν ἀνατολικὴν ἔξοδον τῆς μεταξὺ Παγγαίου καὶ Συμβόλου κοιλάδος, ὀλίγον δηλαδὴ δυτικώτερον τῆς Χριστουπόλεως (Καβάλας).

Ἡ θέσις τοῦ κτήματος τοῦ δομεστίκου δεικνύει ὅτι καὶ ὁ δομέστικος ἐκ Χριστουπόλεως πρέπει νὰ κατήγετο καὶ οἱ δύο οὗτοι Τζαμπλάκωνες ἀνήκουν λίαν πιθανῶς εἰς τὴν αὐτὴν ἐν Χριστουπόλει ἐγκατεστημένην οἰκογένειαν Τζαμπλακώνων. Ὁ βαθμὸς ὅμως τῆς συγγενείας των παραμένει ἄγνωστος. Δυνατὸν νὰ εἶναι ἐξάδελφοι. Δυνατόν, τὸ πολύ, ὁ τατᾶς νὰ εἶναι ἀνεψιὸς τοῦ δομεστίκου, ὄχι ὅμως καὶ υἱός, ὡς θὰ ἴδωμεν περαιτέρω.

